5. ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩΙ

ΑΠΗΝΗΙ

Στρ. α'.

Ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄωτον γλυκύν
τῶν Οὐλυμπίᾳ, Ὠκεανοῦ θύγατερ, καρδίᾳ γελανεῖ
ἀκαμαντόποδός τ' ἀπήνας δέκευ Ψαύμιος τε δῶρα·

Αντ. α'.

ὃς τὰν σὰν πόλιν αὔξων, Καμάρινα, λαοτρόφον,
βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις
ὑπὸ βουθυσίαις ἀέθλων τε πεμπαμέροις ἁμίλλαις,

Ἐπ. α'.

ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε. τὶν δὲ κῦδος ἁβρόν
νικάσας ἀνέθηκε, καὶ ὃν πατέρ' Ἄκρων' ἐκάρυξε καὶ τὰν νέοικον ἕδραν.

Στ. β'.

ἵκων δ' Οἰνομάου καὶ Πέλοπος παρ' εὐηράτων
σταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀείδει μὲν ἄλσος ἁγνόν
τὸ τεὸν ποταμόν τε Ὤανον ἐγχωρίαν τε λίμναν

Ἀντ. β'.

καὶ σεμνοὺς ὀχετούς, Ἵππαρις οἷσιν ἄρδει στρατόν,
κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος,
ὑπ' ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν·

Ἐπ. β'.

αἰεὶ δ᾽ ἀμφ᾽ ἀρεταῖσι πόνος δαπάνα τε μάρναται πρὸς ἔργον

κινδύνῳ κεκαλυμμένον· εὖ δὲ τυχόντες σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν.

Στ. γ᾽.

σωτὴρ ὑψινεφὲς Ζεῦ, Κρόνιόν τε ναίων λόφον

τιμῶν τ᾽ Ἀλφεὸν εὐρὺ ῥέοντα Ἰδαῖόν τε σεμνὸν ἄντρον,

ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς,

Ἀντ. γ᾽.

αἰτήσων πόλιν εὐανορίαισι τάνδε κλυταῖς

δαιδάλλειν, σέ τ᾽ Ὀλυμπιόνικε, Ποσειδανίοισιν ἵπποις

ἐπιτερπόμενον φέρειν γῆρας εὔθυμον ἐς τελευτάν

Ἐπ. γ᾽.

υἱῶν, Ψαῦμι, παρισταμένων. ὑγιέντα δ᾽ εἴ τις ὄλβον ἄρδει,

ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθείς, μὴ ματεύσῃ θεὸς γενέσθαι.